**Fragmenta, ed. H. Thesleff:**
**The Pythagorean texts of the Hellenistic period.**
(Abo Akademi 1965)

᾿Αλειπτικὰ συγγράμματα, Δωρικά, ῾Ηλοθαλῆς, ῾Ιερὸς λόγος ιν ηεξαμετερ

## ᾿Αλειπτικὰ συγγράμματα

Diogenés Laertios, Vitae philosophorum VIII, 7 (Hérakleidés z Lembu)
... δεύτερον τὸν ῾Ιερὸν λόγον οὗ ἡ ἀρχή·
ὦ νέοι, ἀλλὰ σέβεσθε μεθ᾿ ἡσυχίας τάδε πάντα.

Porfyrios, Vita Pythagorae 40 (seq. Carm. aur. 40-42)
πρὸ δὲ τῆς ἐξαναστάσεως ἐκεῖνα [ἐπᾴδειν]·
πρῶτα μὲν ἐξ ὕπνοιο μελίφρονος ἐξυπαναστὰς
εὖ μάλ᾿ ὀπιπεύειν ὅσ᾿ ἐν ἤματι ἔργα τελέσσεις.

Iamblichos, De vita Pythagorica 144
ἔστι γὰρ παρ᾿ αὐτοῖς λεγόμενον ὅτι·
ἄνθρωπος δίπος ἐστὶ καὶ ὄρνις καὶ τρίτον ἄλλο.
τὸ γὰρ τρίτον Πυθαγόρας ἐστι ... περὶ δὲ τοὺς ὅρκους...
(seq. Carm. aur. 1-2)

Johannés Lydus, De mensibus IV, 42
ὁ δὲ Ποντικὸς ῾Ηρακλείδης φησίν, ὡς εἴ τις τὸν κύαμον ἐν καινῇ θήκῃ ἐμβαλὼν ἀποκρύψει τῇ κόπρῳ ἐπὶ τεσσαράκοντα πάσας ἡμέρας, εἰς ὄψιν ἀνθρώπου σεσαρκωμένου μεταβαλόντα τὸν κύαμον εὑρήσει, καὶ διὰ τοῦτο τὸν ποιητὴν φάναι·
ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων.

Eustathios, Comm. Il. XII, 589; p 948
γράφουσιν οἱ παλαιοὶ ὅτι τοὺς κυάμους ὡς μέλανας οὐκ ἐσθίουσιν οἱ ἱερεῖς οἷς καὶ λόγον φασὶν εἶναι ἱερὸν τοιοῦτον· διὰ τὸ
ψυχῆσ᾿ αἰζηῶν βάσιν ἔμμεναι ἠδ᾿ ἀναβαθμόν
ἐξ ᾿Αίδαο δόμων, ὅταν αὐγὰς εἰσανίωσιν.

Pseudo-Plútarchos, Vita Hom. 154

ὁ δὲ Πυθαγόρας· φείδεο τῆς ζωῆς, μή μιν καταθυμοβορήσῃς.

Sextos Empeirikos, Adversus mathematicos IX, 128
ἔνθεν καὶ παρῄνουν οὗτοι οἱ φιλόσοφοι ἀπέχεσθαι τῶν ἐμψύχων καὶ ἀσεβεῖν ἔφασκον τοὺς ἀνθρώπους·

βωμὸν ἐρεύθοντας μακάρων θερμοῖσι φόνοισι.

Iamblichos, De vita Pythagorica 162
τοιοῦτον δή ἐστι τὸ ἀρχὴ δέ τοι ἥμισυ παντός, ἀπόφθεγμα Πυθαγόρου αὐτοῦ.

Diogenés Laertios, Vitae philosophorum VIII, 22-24
λέγεται παρεγγυᾶν αὐτὸν ἑκάστοτε τοῖς μαθηταῖς τάδε λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι·

πῆ παρέβην; τί δ᾽ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

σφάγιά τε θεοῖς προσφέρειν κωλύειν, μόνον δὲ τὸν ἀναίμακτον βωμὸν προσκυνεῖν. μηδ᾽ ὀμνύναι θεούς· ἀσκεῖν γὰρ αὑτὸν δεῖν ἀξιόπιστον παρέχειν. τούς τε πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους· ὡς ἐν κόσμῳ μὲν ἀνατολὴν δύσεως, ἐν βίῳ δ᾽ ἀρχὴν τελευτῆς, ἐν ζωῇ δὲ γένεσιν φθορᾶς. καὶ θεοὺς μὲν δαιμόνων προτιμᾶν, ἥρωας δ᾽ ἀνθρώπων, ἀνθρώπων δὲ μάλιστα γονέας. ἀλλήλοις θ᾽ ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ᾽ ἐχθροὺς φίλους ἐργάσασθαι· ἴδιόν τε μηδὲν ἡγεῖσθαι· νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν· φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι, [ἀλλὰ] μηδὲ ζῷον ὃ μὴ βλάπτει ἀνθρώπους. αἰδῶ καὶ εὐλάβειαν εἶναι μήτε γέλωτι κατέχεσθαι μήτε σκυθρωπάζειν. φεύγειν σαρκῶν πλεονασμόν, ὁδοιπορίης ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι, μνήμην ἀσκεῖν, ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν, μαντικὴν πᾶσαν τιμᾶν, ᾠδαῖς χρῆσθαι πρὸς λύραν ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον χάριν ἔχειν. τῶν δὲ κυάμων ἀπηγόρευεν ἀπέχεσθαι διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυχικοῦ· καὶ ἄλλως κοσμιωτέρας ἀπεργάζεσθαι τὰς γαστέρας, μὴ παραληφθέντας· καὶ διὰ τοῦτο καὶ τὰς καθ᾽ ὕπνους φαντασίας λείας καὶ ἀταράχους ἀποτελεῖν.

**Ἱερὸς λόγος** – [Λόγος] περὶ θεῶν in Doric prose:

Iamblichos, De vita Pythagorica 146

οὐκέτι δὲ οὖν ἀμφίβολον γέγονε τὸ τὰς ἀφορμὰς παρὰ Ὀρφέως λαβόντα Πυθαγόραν συντάξαι τὸν περὶ θεῶν λόγον, ὃν καὶ ἱερὸν διὰ τοῦτο ἐπέγραψεν ..., εἴτε ὄντως τοῦ ἀνδρός, ὡς οἱ πλεῖστοι λέγουσι, σύγγραμμά ἐστιν, εἴτε Τηλαύγους (θ.ᾳ.) ... λέγει γάρ·

<Λόγος] ὅδε περὶ θεῶν Πυθαγόρα τῶ Μνημάρχω, τὸν ἐξέμαθον ὀργιασθεὶς ἐν Λιβήθροις τοῖς Θρᾳκίοις, Ἀγλαοφάμω τελεστᾶ μεταδόντος, ὡς ἄρα Ὀρφεὺς ὁ Καλλιόπας κατὰ τὸ Πάγγαιον ὄρος ὑπὸ τᾶς ματρὸς πινυσθεὶς ἔφα, τὰν ἀριθμῶ οὐσίαν ἀίδιον εἶμεν ἀρχὰν προμαθεστάταν τῶ παντὸς ὠρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος, ἔτι δὲ καὶ θείων καὶ θεῶν καὶ δαιμόνων διαμονᾶς ῥίζαν.

Syrianos, CAG 6, 1; p.123 Kroll
πῶς δ' ἂν αὐτὸς μὲν Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ διαρρήδην μορφῶν καὶ ἰδεῶν κράντορα τὸν ἀριθμὸν ἔλεγεν εἶναι καὶ θεῶν <καὶ] δαιμόνων αἴτιον καὶ τῷ πρεσβίστῳ καὶ κρατιστεύοντι τεχνίτᾳ θεῷ κανόνα καὶ λόγον τεχνικόν, νοῦν τε καὶ στάθμαν ἀκλινεστάταν τὸν ἀριθμὸν ὑπεῖμεν συστάσιός τε καὶ γενέσιος τῶν πάντων.

Iamblichos, In Nicomachi arithmeticam introductione, p.10 Pistelli
Πυθαγόρας δὲ (sc. φησὶν τὸν ἀριθμὸν εἶναι) ἔκτασιν καὶ ἐνέργειαν τῶν ἐν μονάδι σπερματικῶν λόγων, ἢ ἑτέρως τὸ πρὸ πάντων ὑποστὰν ἐν θείῳ νῷ ἀφ᾽ οὗ καὶ ἐξ οὗ πάντα συντέτακται καὶ μένει τάξιν ἄλυτον διηριθμημένα.

Pseudo-Iamblichos, Theol. arithm.; p.21 De F.
εἰ δὲ τῶν ὄντων εἶδος ὁ ἀριθμός, ἀριθμοῦ δὲ τὰ ῥιζώματα καὶ οἱονεὶ στοιχεῖα οἱ μέχρι τετράδος ὅροι, εἴη ἂν ἐν τούτοις τὰ προλεχθέντα ἰδιώματα καὶ αἱ τῶν τεσσάρων ἐπιστημῶν ἐμφάσεις ... καθὼς ἐν τῷ δηλουμένῳ περὶ θεῶν συγγράμματι ὁ Πυθαγόρας οὕτω διορίζεται· τέσσαρες μὲν καὶ ταὶ σοφίας ἐπιβάθραι, ἀριθμητικὰ μωσικὰ γεωμετρία σφαιρικά, α β γ δ τεταγμέναι. καὶ Κλεινίας...

Johannés Lydus, De mensibus II, 9
αὐτῷ (sc. τῷ Ἑρμῇ) τοίνυν τὴν τετράδα οἱ φιλοσοφοῦντες ἀνέθεντο ὡς ἐφόρῳ τῶν μιγάδων ψυχῶν· τὰ γὰρ τῆς ψυχῆς στηρίγματα τέσσαρά ἐστι, νοῦς ἐπιστήμη δόξα αἴσθησις. ψυχὰ γὰρ ἀνθρώπου, φησὶν ὁ Πυθαγόρας, ἔστι τετράγωνον εὐθυγώνιον.
Καθαρμοί
Κατάβασις εἰς Ἅιδου
Κοπίδες

Diogenés Laertios, Vitae philosophorum VIII, 8
αὐτοῦ (sc. τοῦ Πυθαγόρου) λέγουσι καὶ τὰς Κοπίδας, οὗ ἡ ἀρχή· Μὴ ἀναδίδευ μηδενί.
Κρότων
Λόγος πρὸς Ἄβαριν
Λύσις ψυχῆς
Μυστικὸς λόγος
Ὅρκος

Áetios I, 3, 8
διὸ καὶ ἐπεφθέγγοντο οἱ Πυθαγόρειοι ὡς μεγίστου ὅρκου ὄντος τῆς τετράδος·
οὐ μὰ τὸν ἁμετέρᾳ κεφαλᾷ παραδόντα τετρακτύν
παγὰν ἀενάου φύσεως ῥίζωμά τ᾽ ἔχουσαν.
Παιδευτικόν, πολιτικόν, φυσικόν...

Diogenés Laertios, Vitae philosophorum VIII, 6
Ἡράκλειτος γοῦν ὁ φυσικὸς (Hérakleitos B 129) μονονουχὶ κέκραγε καί φησι· ᾽Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων. καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθείην, κακοτεχνίην.᾽ οὕτω δ᾽ εἶπεν, ἐπειδήπερ ἐναρχόμενος ὁ Πυθαγόρας τοῦ Φυσικοῦ συγγράμματος λέγει ὧδε· οὐ μὰ τὸν ἀέρα, τὸν ἀναπνέω, οὐ μὰ τὸ ὕδωρ, τὸ πίνω, οὔ κοτ᾽ οἴσω ψόγον περὶ τοῦ λόγου τοῦδε. γέγραπται δὲ τῷ Πυθαγόρᾳ συγγράμματα τρία, Παιδευτικόν, Πολιτικόν, Φυσικόν.

Diogenés Laertios, Vitae philosophorum VIII, 9
ἐν δὲ τοῖς τρισὶ συγγράμμασι τοῖς προειρημένοις φέρεται Πυθαγόρου τάδε καθολικῶς. οὐκ ἐᾷ εὔχεσθαι ὑπὲρ αὑτῶν διὰ τὸ μὴ εἰδέναι τὸ συμφέρον. τὴν μέθην ἓν ἀνθ᾽ ἑνὸς βλάβην καλεῖ καὶ πλησμονὴν πᾶσαν ἀποδοκιμάζει, λέγων μὴ παραβαίνειν μήτε τῶν πόνων μήτε τῶν σιτίων μηδένα τὴν συμμετρίαν. καὶ περὶ ἀφροδισίων δέ φησιν οὕτως· ἀφροδίσια χειμῶνος ποιέεσθαι, μὴ θέρεος· φθινοπώρου δὲ καὶ ἦρος κουφότερα, βαρέα δὲ πᾶσαν ὥρην καὶ ἐς ὑγιείην οὐκ ἀγαθά. ἀλλὰ καί ποτε ἐρωτηθέντα πότε δεῖ πλησιάζειν, εἰπεῖν· ὅταν βούλῃ γενέσθαι αὑτοῦ ἀσθενέστερος. διαιρεῖται δὲ καὶ τὸν τοῦ ἀνθρώπου βίον οὕτως· παῖς εἴκοσι ἔτεα, νεηνίσκος εἴκοσι, νεηνίης εἴκοσι, γέρων εἴκοσι. αἱ δὲ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε

σύμμετροι· παῖς ἔαρ, νεηνίσκος θέρος, νεηνίης φθινόπωρον, γέρων χειμών. ἔστι δ᾽ αὐτῷ ὁ μὲν νεηνίσκος μειράκιον, ὁ δὲ νεηνίης ἀνήρ.

Diogenés Laertios, Vitae philosophorum VIII, 14
ἀλλὰ καὶ αὐτὸς (sc. ὁ Πυθαγόρας) ἐν τῇ γραφῇ φησι· δι᾽ ἑκκαίδεκα καὶ διηκοσίων ἐτέων ἐξ ᾽Αίδεω παραγεγενῆσθαι ἐς ἀνθρώπους.

Schol. E in Od. I, 371
τοῦτο κατὰ τὸν Πυθαγόρου λόγον· ἐκεῖνος γάρ φησιν ὡς ἔξω γενόμενος τοῦ σώματος ἀκήκοα ἐμμελοῦς ἁρμονίας.
Περὶ τῆς ᾽Ερυθρᾶς θαλάττης
Περὶ εὐσεβείας
Περὶ τοῦ ὅλου
Περὶ ῾Ομήρου
Περὶ ψυχῆς
῞Υμνος εἰς ἀριθμόν

Proklos, In Platonis Timaeum commentaria 39e3; 107d (cfr. 28c1; 316d; Orph. fr. 315 Kern)
... πρόεισι γὰρ ὁ θεῖος ἀριθμός, ὥς φησιν ὁ Πυθαγόρειος εἰς αὐτὸν ὕμνος,

> μουνάδος ἐκ κευθμῶνος ἀκηράτου, ἔστ᾽ ἂν ἵκηται
> τετράδα ἐπὶ ζαθέην· ἣ δὴ τέκε μητέρα πάντων,
> πανδοχέα, πρέσβειραν, ὅρον περὶ πᾶσι τιθεῖσαν,
> ἄτροπον, ἀκαμάτην· δεκάδα κλείουσί μιν ἁγνήν.

Iamblichos, De vita Pythagorica 162 (= Orph. fr. 317 Kern)
... βραχυλογίᾳ τινὶ ... οἷόνπερ καὶ ἐν τῷ·

> ἀριθμῷ δέ τε παντ᾽ ἐπέοικεν,

ὃ δὴ πυκνότατα πρὸς ἅπαντας ἀπεφθέγγετο [ὁ Πυθαγόρας].

## Epigram on Zeus‘ tomb:

Porfyrios, Vita Pythagorae 17
εἰς δὲ τὸ ᾽Ιδαῖον καλούμενον ἄντρον καταβὰς [ὁ Πυθαγόρας] ἔρια ἔχων μέλανα τὰς νομιζομένας τρὶς ἐννέα ἡμέρας ἐκεῖ διέτριψεν καὶ καθήγισεν τῷ Διὶ τόν τε στορνύμενον αὐτῷ κατ᾽ ἔτος θρόνον ἐθεάσατο, ἐπίγραμμά τ᾽ ἐνεχάραξεν ἐπὶ τῷ τάφῳ ἐπιγράψας ᾽Πυθαγόρας τῷ Διί᾽, οὗ ἡ ἀρχή·

ὧδε θανὼν κεῖται Ζάν, ὃν Δία κικλήσκουσιν.

Monotheistic poem:

Jústinos, De monarch. 2, 2; p.134 Otto
κοινωνεῖ δ᾽ αὐτῷ (sc. ᾽Ορφεῖ) καὶ Πυθαγόρας ἐν οἷς γράφει·
εἴ τις ἐρεῖ ᾽Θεός εἰμι πάρεξ ἑνός᾽, οὗτος ὀφείλει
κόσμον ἴσον τούτῳ στήσας εἰπεῖν ᾽᾽Εμὸς οὗτος·᾽
κοὐχὶ μόνον στήσας εἰπεῖν ᾽᾽Εμός᾽, ἀλλὰ κατοικεῖν
αὐτὸς ἐν ᾧ πεποίηκε· πεποίηται δ᾽ ὑπὸ τούτου.

Epistulae:

Diogenés Laertios, Vitae philosophorum II, 5
᾽Αναξιμένης Πυθαγόρῃ.
Εὐβουλότατος ἦς ἡμέων, μεταναστὰς ἐκ Σάμου ἐς Κρότωνα, ἐνθάδε εἰρηνεῖς. οἱ δὲ Αἰακέος παῖδες ἄλαστα κακὰ ἔρδουσι καὶ Μιλησίους οὐκ ἐπιλείπουσι αἰσυμνῆται. δεινὸς δὲ ἡμῖν καὶ ὁ Μήδων βασιλεύς, οὐκ ἤν γε ἐθέλωμεν δασμοφορέειν· ἀλλὰ μέλλουσι δὴ ἀμφὶ τῆς ἐλευθερίης ἁπάντων Ἴωνες Μήδοις κατίστασθαι ἐς πόλεμον· καταστᾶσι δὲ οὐκέτι ἐλπὶς ἡμῖν σωτηρίης. κῶς ἂν οὖν ᾽Αναξιμένης ἐν θυμῷ ἔτι ἔχοι αἰθερολογέειν, ἐν δείματι ἐὼν ὀλέθρου ἢ δουλοσύνης; σὺ δὲ εἶ καταθύμιος μὲν Κροτωνιήτῃσι, καταθύμιος δὲ καὶ τοῖσι ἄλλοισι ᾽Ιταλιώτῃσι· φοιτέουσι δέ τοι λεσχηνῶται καὶ ἐκ Σικελίης.

Diogenés Laertios, Vitae philosophorum VIII, 49 (Hercher, Epistol. Gr., p.601)
Πυθαγόρας ᾽Αναξιμένει.
Καὶ σύ, ὦ λῷστε, εἰ μηδὲν ἀμείνων ἦς Πυθαγόρεω γενεήν τε καὶ κλέος, μεταναστὰς ἂν οἴχεο ἐκ Μιλήτου· νῦν δὲ κατερύκει σε ἡ πατρόθεν εὔκλεια, καὶ ἐμέ τε ἂν κατείρυκεν ᾽Αναξιμένει ἐοικότα. εἰ δὲ ὑμεῖς οἱ ὀνήιστοι τὰς πόλιας ἐκλείψητε, ἀπὸ μὲν αὐτέων ὁ κόσμος αἱρεθήσεται, ἐπικινδυνότερα δ᾽ αὐτῇσι τὰ ἐκ Μήδων. οὔτε δὲ αἰεὶ καλὸν αἰθερολογεῖν, μελεδωνόν τε εἶναι τῇ πατρίδι κάλλιον. καὶ ἐγὼ δὲ οὐ πάντα περὶ τοὺς ἐμεωυτοῦ μύθους, ἀλλὰ καὶ ἐν πολέμοις, οὓς διαφέρουσιν εἰς ἀλλήλους ᾽Ιταλιῶται.

Ad Hieron.; Hercher, Epistologr. Gr. p.601

Πυθαγόρας Ἱέρωνι.

Ἀσφαλὴς ὁ ἐμὸς βίος καὶ ἡσύχιος, ὁ δὲ σὸς κατ᾽ οὐδὲν ἐμοὶ προσπελάζει. μέτριος ἀνὴρ καὶ λιποδεὴς Σικελικῆς τραπέζης οὐδὲν προσδεῖται. πάντ᾽ ἔχει Πυθαγόρας ἱκανὰ τὰ καθ᾽ ἡμέραν, οὗ ἂν ἔλθῃ· θεραπεία δὲ δυνάστου βαρὺ καὶ ἐπαχθὲς τῷ μὴ εἰθισμένῳ. μέγα καὶ ἀσφαλὲς αὐτάρκεια· οὔτε γὰρ ἔχει τὸν φθονήσοντα οὔτε τὸν ἐπιβουλεύ σοντα. διὸ καὶ δοκεῖ εἶναι ἐγγυτάτω θεοῦ ἡ διαγωγή. διάθεσις ἀγαθὴ οὐ γεννᾶται ὑπὸ ἀφροδισίων οὐδὲ ὑπὸ ἐδεσμάτων, ἀλλ᾽ ὑπὸ ἐνδείας ἀγούσης πρὸς ἀνδρὸς ἀρετήν· ἡδοναὶ δὲ ποικίλαι καὶ ἀκρατεῖς δουλοῦνται ψυχὰς ἀσθενῶν ἀνθρώπων, πολὺ δὲ μάλιστα ὧν νῦν σὺ ἀπολαύεις. διὸ καὶ ἐπιδοὺς σεαυτὸν εἰς τὰ τοιαῦτα αἰωρῇ (γὰρ) καὶ οὐ δύνασαι σώζεσθαι· λόγος γὰρ ὁ παρὰ σοῦ οὐκ ἐναντιοῦται τοῖς ἀσυμφόροις. μὴ οὖν κάλει Πυθαγόραν συμβιώσοντά σοι· οὐδὲ γὰρ ἰατροὶ αἱροῦνται τοῖς νοσοῦσι συγκάμνειν.

## Incerta:

Pseudo-Jústinos, Cohortatio ad gentes 19, 2; p.68-70 Otto

ὁ δὲ τοῦ Μνησάρχου Πυθαγόρας, ὁ τὰ δόγματα τῆς ἑαυτοῦ φιλοσοφίας διὰ συμβόλων μυστικῶς ἐκθέμενος, ὡς δηλοῦσιν οἱ τὸν βίον αὐτοῦ γεγραφότες, ἄξια καὶ αὐτὸς τῆς εἰς Αἴγυπτον ἀποδημίας περὶ ἑνὸς θεοῦ φρονῶν φαίνεται. τὴν γὰρ μονάδα ἀρχὴν ἁπάντων λέγων καὶ ταύτην τῶν ἀγαθῶν ἁπάντων αἰτίαν εἶναι, δι᾽ ἀλληγορίας ἕνα τε καὶ μόνον διδάσκει θεὸν εἶναι. ὅτι δὲ τοῦθ᾽ οὕτως ἔχει, δῆλον ἀφ᾽ ὧν μονάδα καὶ ἓν πολλῷ διαφέρειν ἀλλήλων ἔφη. τὴν μὲν γὰρ μονάδα ἐν τοῖς νοητοῖς εἶναι λέγει, τὸ δὲ ἓν ἐν τοῖς ἀριθμοῖς. εἰ δὲ καὶ σαφεστέραν ἀπόδειξιν περὶ ἑνὸς θεοῦ τῆς Πυθαγόρου δόξης ποθεῖτε γνῶναι, ἀκούσατε καὶ τῆς αὐτοῦ δόξης. οὕτω γὰρ ἔφη· ὁ μὲν θεὸς εἷς, αὐτὸς δὲ οὐχ, ὥς τινες ὑπονοοῦσιν, ἐκτὸς τᾶς διακοσμήσιος, ἀλλ᾽ ἐν ἑαυτῷ ὅλος ἐν ὅλῳ τῷ κύκλῳ ἐπισκοπῶν πάσας τὰς γενέσιάς ἐστι, κρᾶσις ἐὼν τῶν ὅλων αἰώνων καὶ ἐργάτας τῶν αὐτοῦ δυνάμιων καὶ ἔργων, ἀρχὰ πάντων, ἐν οὐρανῷ φωστὴρ καὶ πάντων πατήρ, νοῦς καὶ ψύχωσις τῶν ὅλων, κύκλων ἁπάντων κίνασις. οὕτω μὲν οὖν ὁ Πυθαγόρας.